UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Cyro monacho. 272.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

ἰδίας φιλοτιμίας ἀναλίσκοντος. πραγματευομένου δὲ τὰς ἀλλοτρίας συμφορὰς, καὶ μήτε δάκρυον αἰδουμένου ἐν τοσαύτῃ κακῶν ἀνάγκῃ, μήτε χεῖρα ὀρέγοντος. ἐπεὶ τοίνυν τοιαῦτα καταθρηνῶν γέγραφας, καὶ παρακέκληκας ὥστε ἡμᾶς αὐτῷ γράψαι, ἴσθι ὅτι πᾶσα ἰατρικὴ τέχνη ἥττηται τῷ νοσήματι τἀνδρός. πολλὰ γὰρ καὶ προσηνῆ καὶ δραστήρια γράμματα δεξάμενος, ἀπώνατο οὐδέν. διὸ καὶ τὴν σιγὴν λοιπὸν τὴν πρὸς αὐτοὺς τετιμήκαμεν. εἰ τοίνυν δύναιο δι' εὐχῶν κατορθῶσαί τι σαυτῷ τε καὶ τῇ πόλει, ἀφέμενος τὸν θρῆνον ἔχου, τάχα πως ὁ καὶ τὰ ἀνήκεστα ἰώμενος πάθη, ποιήσει καὶ αὐτὸν ἐκ τῆς τοσαύτης μανίας ἀνενεγκεῖν, καὶ τὴν πόλιν ἐπὶ γόνυ κειμένην, μᾶλλον δὲ, ὡς ἔφης, τεθνηκυῖαν ἀναστῆσαι.

ſatiáque pauperum alimenta in munificentias ſuas inſumit, meſſémque ex alienis calamitatibus facit, atque in tanta malorum anguſtia nec lachrymis vllis cõmouetur, nec manum porrigit. Quoniam igitur hæc lamẽtans ſcripſiſti, méque hortatus es; vt ad eum literas mitterem, illud velim ne ignores omnem medendi artem morbi ipſius grauitati ſuccubuiſſe. Nam cùm multas, tum blandas & ſuaues, tum acres & vehementes literas acceperit, nullum tamen ex ipſis fructum cepit. Ac propterea ſilentium iam ad eum colendũm duximus. Quamobrem ſi quid, quod tibiipſi, & ciuitati vtile ſit precibus tuis efficere potes, omiſſo luctu in eam rẽ incumbe. Sic enim fortaſſe is, qui deploratos etiã morbos ſanat, vt & ipſe ex ingenti inſania emergat, & ciuitas in genua iacens, vel potiùs, vt verbo tuo vtar, mortua & extincta excitetur, efficiet.

Ἀφροδισίῳ πρεσβυτέρῳ. σοα.

*Aphrodiſio Presbytero.* 271.

Ἐπειδὴ γέγραφας, δι' ἣν αἰτίαν οὐ πᾶσιν ἡ θεία ἐφίπταται χάρις, ἴσθι ὦ θαυμάσιε, ὅτι ἐπειδὴ τὴν προαίρεσιν ἐξετάζουσα πρῶτον οὕτω ἐπιφοιτᾷ. εἰ γὰρ καὶ χάρις ἐστὶν οὐχ' ἁπλῶς ἐκχεῖται, ἀλλὰ τὰ μέτρα παρὰ τῶν δεχομένων λαμβάνουσα τοσοῦτον ἐπιρρεῖ, ὅσον ἂν εὕρῃ σκεῦος πίστεως αὐτῇ προσενεχθέν. εἰ γὰρ μὴ τὰ παρ' ἡμῶν πρῶτον ἐζήτει, πᾶσιν ἂν ἐπέπτη. ἐπειδὴ δὲ τὴν προαίρεσιν ἐξετάζει, καὶ οὕτως παραγίνεται, ὡς καὶ ἐπὶ τοῦ ἀριστέως Παύλου. σκεῦος γάρ μοι φησὶν ἐστὶν ἐκλογῆς οὗτος, τοῖς μὲν ἐπιφοιτᾷ, καὶ παραμένει, τῶν δὲ ἀποφοιτᾷ. εἰς δὲ τοὺς οὐδὲ τὴν ἀρχὴν καθίεται.

Quoniam per literas ex me ſciſcitaris, ecquid ſit, quamobrem Dei gratia non ad omnes aduolet, illud ſcito, vir admirande, hoc idcirco fieri, quòd ea primùm animi inſtitutum expendat, atque ita deinde accedat. Etſi enim gratia ſit, non tamen temerè ac citra diſcrimen vllum effunditur, ſed menſuras ab iis, qui eam accipiunt, ſumens, tantum influit, quantum fidei vas ſibi oblatum inuenerit. Nam niſi ea, quæ noſtrarum partium ſunt, primùm requireret, ad omnes profectò aduolaſſet. Quoniam verò voluntatem animíque inductionem explorat, atque ita demum accedit, (quemadmodum in fortiſſimo etiam Paulo cõtigiſſe videmus. Vas enim electionis, inquit, mihi eſt hic: ob eã proinde cauſam ad quoſdam ſe cõfert, atque apud eos permanet, à quibuſdã autẽ recedit: ac denique ad quoſdam ne omnino quidẽ deſcendit.

Κύρῳ μονάζοντι. σοβ.

*Cyro monacho.* 272.

Εἰ τὸ μὴ συμμαίνεσθαι αὐτῷ μανίαν ἡγεῖται, καὶ καλεῖ Εὐσέβιος ὡς γέγραφας

Si Euſebius Epiſcopus, vt ſcribis, non cum eo inſanire, inſaniam eſſe cẽſet, atque

appellat, ne propterea conturberis. Præstat enim, cùm sobrius sis, temulentum videri, quàm cùm temulentia labores, sobrium. Quandoquidem enim præ improbitate in furorem raptus, omnino subactus est, idcirco omnes desipere atque à mente deduci cupit: quò nimirum eorum, quæ flagitiosè & sceleratè agit, reprehensiones effugiat.

*Apollonio Episcopo.* 273.

Vtinam ad nos venisses, vt & certaminis, & coronæ, ac laudis & prædicationis particeps esses. Amicũ enim cælestis philosophię amore flagrantem, sed qui posteà nonnihil dormitasset, consilio atque cohortatione, ac pręsertim diuini fauoris auxilio in viam reduximus. Ac nunc festum diem agitantes carmen triumphale canimus, atque sermonum poculo temperato, spiritualibúsque epulis instructis, amicos conuiuio accipimus. Veni igitur, vt & nobis gratuleris, & cum illis lætitia exultes, & cum familiaribus ac necessariis oblecteris, & cum virtute saltites, ac denique improbitati succenseas, cuius tanta impudentia est, vt iis etiam, qui eam fugiunt, insultet.

*Aphrodisio Presbytero.* 274.

Magnopere miror, quî fiat, vt quæ perquàm aperta & dilucida sunt, plerisque obscura esse videantur. Illud enim, Noli fieri iudex, nihil multiplex nec scitum habet, verùm perspicuè clamat: Quoniam non facile diiudicari potest quid æquum sit (multi enim ob ingenij tarditatẽ id minimè assequuntur: multi rursum, quamuis ob mentis acumen id assequantur, tamen pecuniarum, vel metus, vel pudoris, vel amicitiæ, vel odij causa id peruertunt atque corrumpunt) idcirco ne committe, vt in huiusmodi negotium te proiicias, quod & percipi vix potest, & cùm illud inueneris: minimè labefactare atque corrumpere, difficilius adhuc est.

ὁ ἐπίσκοπος, μὴ θορυβηθῇς. ἄμεινον γὰρ νήφοντα, δοκεῖν μεθύειν, ἢ μεθύοντα δοκεῖν νήφειν. ἐπειδὴ γὰρ ὑπὸ τῆς κακίας ἐκβακχευθεὶς κατακράτος ἐχειρώθη, πάντας παραφρονεῖν βούλεται, ἵνα τοὺς ἐλέγχους ὧν παρανόμως δρᾷ διαφύγοι.

Ἀπολλωνίῳ ἐπισκόπῳ. σογ.

Εἴθε ἦλθες συμμεθέξων τοῦ ἄθλου, καὶ τοῦ στεφάνου ἀπολαύσων, καὶ τῆς ἀναῤῥήσεως κοινωνήσων. φίλον γὰρ ἐρῶντα τῆς οὐρανίου φιλοσοφίας, εἶτ' ὀλίγον ἀπονυστάξαντα παραινέσει καὶ προτροπῇ τῆς θείας ῥοπῆς προηγουμένως βοηθησάσης ἐπανηγάγομεν. καὶ νῦν πανηγυρίζοντες, ᾄδομεν τὸ ἐπινίκιον μέλος, καὶ λόγων κρατῆρα κεράσαντες, λογικά τε ἐδέσματα παρασκευάσαντες, ἑστιῶμεν τοὺς φίλους. ἧκε τοίνυν καὶ ἡμῖν συνησθησόμενος. κἀκείνοις συναγαλλιασόμενος, καὶ τοῖς ἐπιτηδείοις συνευφρανθησόμενος καὶ τῇ ἀρετῇ συγκροτήσων, τῇ τε κακίᾳ ἐπιτιμήσων, ᾗ τοσαύτη ἀναισχυντία πρόσεστιν, ὡς καὶ τοῖς φεύγουσιν αὐτὴν ἐπιπηδᾷν.

Ἀφροδισίῳ πρεσβυτέρῳ. σοδ.

Μάλα θαυμάζω πῶς καὶ τὰ λίαν σαφῆ, ἀσαφῆ εἶναι πολλοῖς δοκεῖ. τὸ γὰρ, μὴ ζήτει γενέσθαι κριτὴς, οὐδὲν ποικίλον ἔχει, οὐδὲ σοφὸν, ἀλλὰ διαῤῥήδην βοᾷ. ἐπειδὴ δυσδιάγνωστόν ἐστι τὸ δίκαιον. πολλοὶ γὰρ διὰ βραδύτητα διανοίας, οὐκ ἐφικνοῦνται τούτου. πολλοὶ δὲ δι' ὀξύτητα μὲν διανοίας ἐφικνοῦνται. διὰ δὲ χρήματα, ἢ φόβον, ἢ αἰδῶ, ἢ φιλίαν, ἢ ἔχθραν παραφθείρουσι τοῦτο. σὺ σαυτὸν μὴ ἐπίῤῥιπτε τοιούτῳ πράγματι, ὃ ἔργον μὲν ἐστι καταλαβεῖν. τὸ δὲ εὑρόντα μὴ διαφθεῖραι, ἐργωδέστερον τυγχάνει.

Μαρτυρια-